καὶ τὸ ἀπὸ τῶν ΓΖ ΖΔ ἄρα ῥητόν ἐστιν· ὁμοίως δὴ καὶ τὸ
δὶς ὑπὸ τῶν ΑΕ ΕΒ σύμμετρόν ἐστι τῷ δὶς ὑπὸ τῶν ΓΖ
ΖΔ. καὶ ἔστι μέσον τὸ δὶς ὑπὸ τῶν ΑΕ ΕΒ· μέσον ἄρα καὶ
τὸ δὶς ὑπὸ τῶν ΓΖ ΖΔ· αἱ ΓΖ ΖΔ ἄρα δυνάμει εἰσὶν
ἀτλετί ἀσύμμετροι· ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀ-
π' αὐτῶν τετρα-



γώνων ἅμα ῥη-
τόν· τὸ δὲ δὶς
ὑπ' αὐτῶν μέσον·
ὅλη ἄρα ἡ ΓΔ ἄ-
λογός ἐστιν ἡ κα-



λουμένη μείζων· ἡ ἄρα τῇ μείζονι σύμμετρος, μεί-
ζων ἐστίν :~

ξθ ἡ τῇ ῥητὸν καὶ μέσον δυν[illegible] σύμμετρος. καὶ αὐτὴ
ῥητὸν καὶ μέσον δυνα[illegible] ἔστω ῥητὸν καὶ μέσον
δυναμένη ἡ ΑΒ. καὶ τῇ ΑΒ σύμμετρος ἔστω ἡ ΓΔ· δει-
κτέον ὅτι καὶ ἡ ΓΔ ῥητὸν καὶ μέσον δυναμένη ἐστί· διῃ-
ρήσθω ἡ ΑΒ εἰς τὰς εὐθείας κατὰ τὸ Ε· αἱ ΑΕ ΕΒ ἄρα
ἀτλατί δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὸ μὲν συγκεί-
μενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον. τὸ
δ' ὑπ' αὐτῶν ῥητόν· καὶ τὰ αὐτὰ κατεσκευάσθω
τοῖς πρότερον· ὁμοίως δὴ δείξομεν ὅτι καὶ αἱ ΓΖ
ΖΔ δυνάμει εἰσὶν ἀσύμμετροι· καὶ σύμμετρον τὸ μὲν
συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΕ ΕΒ τῷ συγκειμέ-
νῳ ἐκ τῶν ἀπὸ τῶν ΓΖ ΖΔ· τὸ δὲ ὑπὸ ΑΕ ΕΒ τῷ
ὑπὸ ΓΖ ΖΔ· ὥστε καὶ τὸ συγκείμενον ἐκ τῶν ἀπὸ



τῶν ΓΖ ΖΔ τετρα-
γώνων ἐστὶ μέσον·
τὸ δ' ὑπὸ τῶν ΓΖ
ΖΔ ῥητόν· ῥη-
τὸν ἄρα καὶ μ[illegible]



δυναμένη [illegible]

ο ἡ τῇ δύο μέ[illegible] σύμμετρος. δύο μέσα δυνα-
μένη ἐστίν [illegible] δυναμένη ἡ ΑΒ· καὶ τῇ ΑΒ
μέτρος ἡ Γ[illegible] τέον δὴ ὅτι καὶ ἡ ΓΔ δύο μέ[illegible]
μένη ἐστίν [illegible] γὰρ δύο μέσα δυναμένη ἐστὶν ἡ
εὐθείας
διῃρήσθω [illegible] κατὰ τὸ Ε· αἱ ΑΕ ΕΒ ἄρα δυνάμει εἰ-
σὶν ἀσύμμετροι· ποιοῦσαι τό τε συγκείμενον ἐκ τῶν ἀτλετί
ἀπ' αὐτῶν τετραγώνων μέσον. καὶ τὸ ὑπ' αὐτῶν μέσον·
καὶ ἔτι ἀσύμμετρον τὸ [illegible]μενον ἐκ τῶν ἀπὸ τῶν
ΑΕ ΕΒ τετραγώνων τῷ [illegible] ΑΕ ΕΒ· καὶ κατεσκευ-
άσθω τὰ αὐτὰ τοῖς πρότερον· ὁμοίως δὴ δείξομεν
ὅτι καὶ αἱ ΓΖ ΖΔ δυνάμει εἰσὶν ἀσύμμετροι· καὶ σύμμε-
τρον τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΕ ΕΒ τῷ
συγκειμένῳ ἐκ τῶν ἀπὸ τῶν ΓΖ ΖΔ· τὸ δὲ ὑπὸ
τῶν ΑΕ ΕΒ τῷ ὑπὸ τῶν ΓΖ ΖΔ· ὥστε καὶ τὸ συγκεί-
μενον ἐκ τῶν ἀπὸ τῶν ΓΖ ΖΔ τετραγώνων μέσον ἐστί·
καὶ τὸ ὑπὸ τῶν ΓΖ ΖΔ μέσον· καὶ ἔτι ἀσύμμετρον τὸ συγκεί-
μενον ἐκ τῶν ἀ-



πὸ τῶν ΓΖ ΖΔ
τετραγώνων τῷ
ὑπὸ τῶν ΓΖ ΖΔ.



BIBLIOTHECA · BODLEIANA

κ

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo